Ζμένδρωνος κ[αὶ θεωρῶν Μακαρέως Ἀράτου καὶ Ἡρακλείτου Τιμαίθου ἐμφανι]-
ζόντων τήν τε [φιλίαν καὶ ---------- τὴν ὑπάρ]-
χουσαν ταῖς πόλες[ιν ἐξ ἀρχῆς ---------- καὶ]
τῶι ἄλλωι ἔθνει τ[ῶν ---------- καὶ ἀπολογιζομέ(?)]-
νων δεῖν ἄσυλον Λ----------
τὴν πανήγυριν καὶ [---------- τῶι]
Ἀσκληπιῶι δέξασ[θαι ----------]
ων τήν τε φιλίαν καὶ ----------
πρὸς τὴν Κώιων πόλ[ιν ----------]
καὶ τὸ ἱερὸν τοῦ Ἀσκλ[ηπιοῦ ἄσυλον ----------]
καθάπερ ἠξίουν διά τ[ε ----------]
καὶ τὴν συγγένειαν [---------- τοὺς ταμί]-
ας δοῦναι καθάπερ η[---------- τοῖς τοὺς ἀγῶνας]
τοὺς στ[ε]φανίτας ἐ[παγγέλλουσι ---------- τὸ]
ἐκ τοῦ νόμου ξένιον. *vac.* (?)

Ὁ μ ο [λ ι έ ω ν].

ἀγαθῆι τύχηι· ἐφ' ἱερέως [---------- προστα]-
τοῦντος δὲ Ἀνδρονίκο[υ ---------- παραγενομένων πα]-
ρὰ τῆς πόλεως τῆς Κώι[ων ..... c. 20 ..... ἀρχιθεώρου Ἀριστολόχου]
Ζμένδρωνος καὶ θε[ωρῶν Μακαρέως Ἀράτου καὶ Ἡρακλείτου Τιμαίθου
ἐμφανιζόν]-
[των τήν τ]ε φιλίαν κ[αὶ ---------- τὴν ὑπάρχουσαν ταῖς]
πόλεσιν ἐξ ἀρχῆς αὐ ----------

B

[Θ η β α ί ω ν τ ῶ ν ἀ π' Ἀ χ α ί α ς τ ῆ ς Φ θ ι ώ τ ι δ ο ς].

[παραγενομένων παρὰ τῆς πόλεως τῆς Κώιων ἀρχιθεώρου Ἀριστολ]όχου Ζμ[έν]-
[δρωνος καὶ θεωρῶν Μακαρέως Ἀράτου καὶ Ἡρακλείτου] Τιμαίθου ἐπαγ-
[γελλόντων ---------- κα]ὶ τοὺς ἀγῶνας καὶ
---------- καὶ τὴν ἀσυλίαν τοῦ ἱε-
[ροῦ ---------- ἔδοξεν τῆι] πόλει Θηβαίων τῶν ἀ-
[π' Ἀχαίας τῆς Φθιώτιδος· ἐπαινέσαι μὲν τὴν πόλ]ιν τὴν Κώιων καὶ δέξα-
[σθαι ----------] περὶ δὲ τῶν θεωρῶν τῶν
[---------- τὴν] θυσίαν τοὺς συνθύσον-
[τας ---------- προγράψασθαι(?) τοὺς ἄρχο]ντας εἰς τὴν ἔννομον
[ἐκκλησίαν τὴν ---------- δοῦ]ναι δὲ αὐτοῖς τὸ θεωρικὸν
[---------- καλέσαι δὲ κ]αὶ ἐπὶ ξένια τοὺς θεωροὺς
[εἰς τὸ πρυτανεῖον(?)]. *vac.*

[Μ ε γ α ρ] έ ω ν.

[ἐπὶ βασιλέος ..... c. 10 ..... · ἐπειδὴ παραγεγέ]νηνται παρὰ τᾶς πόλιος τᾶς
[Κώιων ἀρχιθέωρος Ἀριστόλοχος Ζμένδρωνο]ς καὶ θεωροὶ Ἡράκλειτος Τι-
[μαίθου, Μακαρεὺς Ἀράτου ἐπαγγέλλοντες τ]ὰ Ἀσκλαπίεια θυσίαν τε καὶ
[ἀγῶνας, οὓς συντελέοντι τῶι Ἀσκλαπιῶ]ι, καὶ ἐκεχειρίαν καὶ τὸ ἱερὸν ἀ-
[ξιέοντι ἄσυλον εἶμεν καὶ ἐμφανίζοντι τ]ὰ[ν] τ[ε] φιλίαν καὶ εὔνοιαν, ἃν ἔχου-
[σα διατελεῖ ἁ πόλις ἁ Κώιων ἅπαντα τὸν χρό]νο[ν π]οτὶ τὸν δᾶμον τὸν Με-
[γαρέων ---------- οἰκ]ειότατα, ἀγαθᾶι τύχαι
[ἔδοξεν τῶι δάμωι τῶι Μεγαρέων· ἀποδέξασθαι τὰ]ν θυσίαν καὶ τὰν ἐκεχει-
[ρίαν καὶ ---------- ἐπα]γγέλλοντι π[α]ρὰ τᾶς
[πόλιος τᾶς Κώιων ----------]

373. Decreta civitatium Cassandreae, Amphipolis, Philipporum, quibus eodem fere in modo ius asylii Asclepieo Coo tribuunt, etc., a. 242ᵃ. — Tabula infra fracta, e fragmentis duobus coniuncta. Her-Kla. n. 6.

Κ α σ σ α ν δ ρ έ ω ν.

οἱ στρατηγοὶ καὶ οἱ νομοφύλακες εἶπαν· ἐπειδ[[δ]]ὴ παραγεγένηνται θεωροὶ παρὰ τῆς Κώιων πόλεως ἐπαγγέλλοντες τὰ Ἀσκληπίεια καὶ τοὺς ἀγῶνας τοὺς συντελουμένους ἐν αὐτοῖς καὶ τὴν ἐκεχειρίαν καὶ ἀπολογίζονται τὴν εὔνοιαν τῆς αὐτῶν πόλεως, ἣν ἔχουσα διατελεῖ πρός τε τὸμ βασιλέα Ἀντίγονον καὶ τὴν Κασσανδρέων πόλιν καὶ πρὸς τοὺς λοιποὺς Μακεδόνας πάντας, καὶ ἀξιοῦσιν τὸ ἱερὸν τοῦ Ἀσκληπιοῦ τὸ παρ' αὐτοῖς ἄσυλον εἶναι, ἀγαθῆι τύχηι δεδόχθαι τῆι βουλῆι· δέχεσθαι τὴν ἐπανγελίαν τῶν Ἀσκληπιείων καὶ τοὺς ἀγῶνας καὶ τὴν ἐκεχειρίαν καὶ εἶναι τὸ ἱερὸν τοῦ Ἀσκληπι-

οὗ ἄσυλον κατὰ τὴν τοῦ βασιλέως βούλησιν· ἐπαινέσαι δὲ τὴμ πόλιν τῶν Κώιων,
διότι διατελεῖ πρόνοιαν ποιουμένη τῶν πρὸς τοὺς θεοὺς συντελουμένων
καλῶς καὶ ἐνδόξως καὶ τὴν ὑπάρχουσαν αὐτῆι εὔνοιαν διαφυλάσσει
πρός τε τὸμ βασιλέα Ἀντίγονον καὶ τὴν ἡμετέραν πόλιν καὶ Μακεδόνας πάντας· δοῦναι δὲ τὸν ταμίαν τοῖς παραγεγενημένοις ξένιον τὸ διάταγμα τὸ
ἐκ τοῦ νόμου· καλέσαι δὲ αὐτοὺς καὶ εἰς τὸ ἀρχηγέτειον· τὸ δὲ ἀνάλωμα
τὸ εἰς ταῦτα δοῦναι τὸν ταμίαν. οἵδε ἐπήγγειλαν· Ἀριστόλοχος Ζμένδρωνος ἀρχιθέωρος, Μακαρεὺς Ἀράτου θεωρός. ἡ θυσία εἰς ἐνάτην σελήνην.

Ἀ μ φ ι π ο λ ι τ ῶ ν.

βασιλεύοντος Ἀντιγόνου ἔτους ἑνὸς καὶ τεσσαρακοστοῦ, ἐπιστάτου Ξενίου τοῦ Ὀργέως, ἐφ' ἱερέως Λυσιμάχου· ψηφίσματα Γορπιαίου ἑνάτηι ἐπὶ δέκα· ἐπεὶ ὁ ἀποσταλεὶς ἀρχιθέωρος ὑπὸ τῆς Κώιων πόλεως Ἀριστόλοχος Ζμένδρωνος καὶ μετ' αὐτοῦ θεωρὸς Μακαρεὺς Ἀράτου ἐπελθόντες ἐπὶ τὴν ἐκλη (*sic*)σίαν τήν τε οἰκειότητα ἀνενεώσαντο τὴν ὑπάρχουσαν Κώιοις πρὸς Μακεδόνας καὶ τὴν εὔνοιαν ἐνεφάνιζον, ἣν ἔχουσα διατελεῖ ἡ πόλις πρός τε τὸμ βασιλέα Ἀντίγονον καὶ πρὸς Μακεδόνας, ἐπηγγέλλοσαν δὲ καὶ τὰ Ἀσκληπίεια τὰ γεινόμενα παρ' αὐτοῖς καὶ τὴν ἐκεχειρίαν καὶ ἠξίουν τὸ ἱερὸν τοῦ Ἀσκληπιοῦ τὸ ἐν Κῶι ἄσυλον εἶναι, δεδόχθαι τῆμ πόλει τῆι Ἀμφιπολιτῶν· τήν τε ἐπαγγελίαν τῶν Ἀσκληπιείων καὶ τὴν ἐκεχειρίαν προσδέξασθαι καὶ ἐπαινέσαι αὐτοὺς ἐπί τε ταῖς τιμαῖς, αἷς συντελοῦσι τοῖς θεοῖς, καὶ ἐπὶ τῆι εὐνοίαι τῆι πρὸς τὸμ βασιλέα Ἀντίγονον καὶ πρὸς Μακεδόνας· εἶναι δὲ καὶ τὸ ἱερὸν ἄσυλον, καθάπερ καὶ ὁ βασιλεὺς Ἀντίγονος προαιρεῖται· δοῦναι δὲ καὶ τοὺς ἄρχοντας ξένιον τοῖς θεωροῖς, ὅσον καὶ τοῖς τὰ Πύθια ἐπαγγέλλουσι δίδοται· εἶναι δὲ καὶ θεωροδόκον τῆς θεωρίας τῆς Κώιων Διονύσιον Ἐπιγένου. ἐψηφίσθη παραπάσαις.

Φ ι λ ί π π ω ν.

ἱερῶν· ὑπὲρ τῆς ἐκ Κῶ θεωρίας· γνώμη τῆς ἐκλησίας (*sic*)· ἐπειδὴ ἡ πόλις ἡ Κώιων κατὰ
τὰ πάτρια καὶ κατὰ τὴμ μαντείαν τὸ ἱερὸν τοῦ Ἀσκληπιοῦ ἀπέσταλκεν ἀρχιθέωρον Ἀριστόλοχον Ζμένδρωνος καὶ θεωρὸν μετ' αὐτοῦ Μακαρέα Ἀράτου ἐπαγγέλλοντας τήν τε θυσίαν τῶι Ἀσκληπιῶι καὶ τὴν ἐκεχειρίαν, οἵτινες ἐπελθόντες ἐπὶ τὴν ἐκλησίαν (*sic*) τὴν οἰκειότητα τὴν ὑπάρχουσαν τῆι πόλει τῆι Κώιων
πρὸς τὴμ πόλιν τὴν Φιλίππων καὶ πρὸς τὸμ βασιλέα Ἀντίγονον καὶ πρὸς τοὺς ἄλλους Ἕλληνας καὶ Μακεδόνας ἐνεφάν[ι]σαν καὶ ἀνενεώσαντο, ἠξίουν δὲ τὸ ἱερὸν ἄσυλον εἶναι, ἀγαθῆι τύχηι δεδόχθαι τῆι ἐκλησίαι (*sic*)· δέχεσθαι τὴμ πόλιν

τήν τε ἐπαγγελίαν τὴν τῶν Ἀσκληπιείων τῶν ἐν Κῶι καὶ τὴν ἐκεχειρίαν καθάπερ ἐπαγγέλλουσιν οἱ θεωρ[οί]· ἐπαινέσαι ⟨δ⟩ὲ καὶ τὴμ πόλιν τὴν Κώιων ἐπὶ ταῖς
τιμαῖς, αἷς συντελεῖ τοῖς θεοῖς, καὶ ἐπὶ τῆι εὐνοίαι τῆι τε πρὸς τὸμ βασιλέα Ἀντίγονον καὶ τὴμ πόλιν τὴν Φιλίππων καὶ τοὺς ἄλλους Ἕλληνας καὶ
Μακεδόνας· ⟨εἶ⟩ναι δὲ καὶ τὸ ἱερὸν τοῦ Ἀσκληπιοῦ τὸ ἐν Κῶι ἄσυλο⟨ν⟩, καθάπερ καὶ ὁ βασιλεὺς Ἀντίγονος προαιρεῖται· δοῦναι δὲ τὸν ταμίαν τοῖς θεωροῖς ὑπὲρ τῆς πόλεως εἰς ξένια, ὅσον καὶ τοῖς τὰ Πύθια ἐπαγγέλλουσιν δίδοται ἐν τῶι νόμωι γέγραπται· καλέσαι δὲ
τοὺς θεωροὺς καὶ ἐπὶ τὰ ἱερὰ ὑπὲρ τῆς πόλεως τὸν ἄρχοντα εἰς τὸ πρυτανεῖον· τὸν δὲ ταμίαν δοῦναι τῶι ἄρχοντι ὑπὲρ ἑκατέρου αὐτῶν ἀργύριον τὸ ἐκ τοῦ νόμου· ὅπως δ' ἂν ἀσφαλῶς ἀποσταλῶσιν εἰς Νέαν Πόλιν, τοὺς στρατηγοὺς συμπέμψαι αὐτοῖς τοὺς ξένους ⟨σ⟩τρατιώτας τοὺς παρὰ τῆι πόλει μισθοφοροῦντας· εἶναι δὲ καὶ θεωροδόκον
[τ]ῆς ἐκ Κῶ παραγινομένης θεωρίας τὸν ὑποδεδεγμένον τὴν θεωρίαν Ἡρακλεόδωρον Ἀριστίωνο[ς].

Sequuntur etiam quinque versuum reliquiae, quibus incipit Corcyraeorum decretum (n. 377).

45. in lapide Λ. 47. lap. ΔΟΥ. 48. lap. Η. 54. ΥΣΤ.

Ad unum et quadragesimum annum regis Antigoni cf. Beloch, *Gr. Gesch.* IV², 2, 112, 119 sq., et W. W. Tarn, *Antigonos Gonatas*, 112 n. 3, 434 n. 6, 478. Confirmat enim inscr. haec annum 284/3, a Beloch (*Gr. Gesch.* III, 2, 81) propositum, ab Antigono ut primum regni sui habitum. Cf. n. 311. Vid. etiam M. Chambers, *AJP* LXXV 1954, 385/94.

374. Decreta civitatis Pellae alteriusque ignotae, a. 242ª. — Eodem modo legatos Coos accipiunt. Tab. marm. albi opisthograph., cuius in tergo exstat n. 378, infra fracta. Her-Kla. n. 7.

Π ε λ λ α ί ω ν.

ἐφ' ἱερέως Ἀσκληπιοδώρου, Γορπιαίου· ἐπεὶ παραγενόμενος ἐκ Κῶ ἀρχιθέωρος Ἀριστόλοχος Ζμένδρωνος καὶ θεωρὸς Μακαρεὺς Ἀράτου τήν τε οἰκειότητα ἀνενεώσαντο τὴν ὑπάρχουσαν Κώιοις πρὸς Μακεδόνας καὶ τὴν εὔνοιαν ἀπελογίζοντο, ἣν ἔχουσα τυγχάνει ἡ πόλις ἡ Κώιων πρὸς τὸν βασιλέα Ἀντίγονον καὶ πρὸς Πελλαίους καὶ τὴν λοιπὴν χώραν τὴν Μακεδόνων, καὶ ἐπηγγέλλοσαν τὰ Ἀσκληπίεια τὰ γεινόμενα παρ' αὐτοῖς καὶ τοὺς ἀγῶνας τοὺς ἐν τῆι πανηγύρει ἐσομένους καὶ τὴν ἐκεχειρίαν, ἠξίουσαν δὲ καὶ τὸ ἱερὸν τοῦ Ἀσκληπιοῦ τὸ ἐν Κῶι ἄσυλον εἶναι, ἔδοξε τῆι πόλει· τήν τε ἐπαγγελίαν τῶν Ἀσκληπιείων τὴν παρὰ Κώιων καὶ τὴν ἐκεχειρίαν προσδέξασθαι καὶ ἐπαινέσαι αὐτοὺς ἐπί τε ταῖς τιμαῖς, αἷς συντελοῦσι τοῖς θεοῖς, καὶ

ἐπὶ τῆι εὐνοίαι τῆι πρὸς τὸν βασιλέα Ἀντίγονον καὶ πρὸς Μακεδόνας· ὑπάρχειν δὲ καὶ τὴν ἀσυλίαν τῶι ἱερῶι καθάπερ καὶ τοῖς ἄλλοις ἱεροῖς· δοῦναι δὲ κα[ὶ] ξένια τοὺς ταμίας τοῖς θεωροῖς, ἃ καὶ τοῖς τοὺς στεφανίτας ἀ[γῶνα]ς ἐπαγ- [γ]έλλ[ο]υσι [δ]ί[δοτα]ι, καὶ θεωροδόκον ἑλέσθαι Κώιων. ἡιρέθη

. . . . . ί ω ν. Ἱππ . . . . . ου.

16. Fortasse de civitate Macedonica (*e.g.* Pydna) agitur.

375. Decretum civitatis Aeni, ad easdem res pertinens, a. 242ᵃ. — Pars inferior tab. marm. Her-Kla. n. 8. Cf. Herzog, *Hermes* LXV, 1930, 468; Welles, *op. cit.*, 120.

[- - - -

379. Decretum civitatis Camarinae, eisdem de rebus, a. 242ª. — Tab. marm. albi, supra et infra fracta. Her-Kla. n. 12. Cf. Herzog, *Heilige Gesetze*, 45, et J. et L. Robert, *REG* LIV 1941, 268 (n. 185).

....c. 9.... ΛΟ...Α[.....c. 21..... τῶγ Κα]-
μαριναίων τοῖς Κώιοις .....c. 22.....
συνοικιξάντεσσι, καθὰ ε[.....c. 19.....
δεδόχθαι ἐπ' ἀγαθᾶι τύχαι καὶ ὁμο[νοίαι καὶ σωτηρί]-
αι τοῦ δάμου τῶγ Καμαριναίων καὶ τῶ[γ Κώιων· τὸ]
ἱερὸν ἄσυλον εἶμεν τοῦ 'Ασκλαπιοῦ, χωράξα[ι δὲ τάν]
τε ἀσυλίαν καὶ τὰν θυσίαν καὶ τοὺς ἀγῶνας εἰς
τοὺς νόμους. ΥΥΥΥ βουλᾶς φερούσας ἔδοξε τᾶι ἀλ[ίαι]·
ἐπειδὴ οἱ Κῶιοι συνοικισταὶ ἐγένοντο τᾶς πόλιος
ἁμῶν ὑπαρχόντων τε αὐτοῖς παρ' ἁμεῖν τῶν μεγίστων καὶ
ἀναγκαιοτάτων, συγγενείας τε καὶ οἰκειότατος καὶ ἰσοπο-
λειτείας, ἀποστείλαντες ἀρχιθέωρον 'Επιδαύριον Νικάρχο[υ],
θεωρὸν Σωσίστρατον Καφισίου ἐπαγγέλλοντι τὰν θυ-
σίαν, ἂν θύοντ[ι] τῶι 'Ασκλαπιῶι, καὶ τοὺς ἀγῶνας,
οὓς τίθεντι μουσικὸν καὶ γυμνικὸν κατὰ πενταετηρ[ί]-
δα, καὶ ἀξιῶντι δεῖν κοινωνεῖν τὰν ἁμὰμ πόλιν ἐμφανί-
ζοντες τὰν οἰκειότατα καὶ εὔνοιαν ταῖς πολίεσσι, καλῶς
δὲ ἔχον ἐστὶ τάν τε ἐπαγγελίαν παρ' αὐτῶν δέχεσθαι κα[ὶ]
φανερὸν ποιῆσαι αὐτοῖς, διότι μνάμαν ἔχοντες δια-
τελοῦμες τᾶς ὑπαρχούσας ποτ' αὐτοὺς συγγενείας [ἔν]
τε ταῖς πατρίοις θυσίαις, ἃς παρελάβομες παρ' αὐτῶν, κ[αὶ]
ἐν ταῖς παναγυρίεσσι κατακαλοῦντες αὐτοὺς καθ[ὰ]
καὶ τοὺς ἄλλους οἰκιστάς, δεδόχθαι ἐπ' ἀγαθᾶι τύχα[ι]
καὶ ὑγιείαι καὶ σωτηρίαι καὶ ὁμονοίαι τοῦ δάμου τῶν
Καμαριναίων καὶ τῶγ Κώιων· δέξασθαι παρ' αὐτῶν τάν
τε θυσίαν, ἃμ ποιοῦνται τῶι 'Ασκλαπιῶι, καὶ τοὺς ἀγῶ-
νας· καλεῖν δὲ καὶ ἐπὶ ξένια τοὺς θεωροὺς τούτους τε
καὶ τοὺς ἀεὶ παραγινομένους πάσας τὰς ἁμέρας, ἃς κα
ἐπιδαμέωντι. *vacat*

1/3. coniecit Herzog ἀπε]λογ[ίξ]α[ντο (?) δὲ καὶ τὰν συγγένειαν τῶν Κα]|μαριναίων τοῖς Κώιοις [τάν τε ἁμὰμ πόλιν καὶ Γέλαν] | συνοικιξάντεσσι, καθὰ ἐμ[αρτύρησε ἁμεῖν ὁ βασιλεύς (?)].

380. Decretum Gelensium, qui tunc Phintiam incolebant, eisdem de rebus, a. 242ª. — In tergo n. 370 scriptum, q. vid. Her-Kla. n. 13.

[---------- δεδόχθαι ἐπ' ἀγαθᾶι τύχαι καὶ ὁμο]-
[νοίαι καὶ σωτηρίαι τοῦ δάμου τῶγ Γελώιων καὶ τῶν]
[Κώιων· τὸ ἱερὸν ἄσυλον εἶμεν τοῦ 'Ασκλαπιοῦ, χ]ωρά- (*a*)

[ξαι δὲ τάν τε ἀσυλίαν καὶ τὰν θυσίαν καὶ τοὺ]ς ἀγῶ-
[νας εἰς τοὺς νόμους]. *vacat*
[βουλᾶς φερούσας ἔδοξε τᾶι ἁλίαι· ἐπει]δὴ οἱ Κῶι-
[οι συνοικισταὶ ἐγένοντο τᾶς πόλιος ἁ]μῶν Γέλας
[ὑπαρχόντων τε αὐτοῖς παρ' ἁμεῖν τ]ῶμ μεγίστω[ν]
[καὶ ἀναγκαιοτάτων, συγγενείας] τε καὶ οἰκιστ[εί]-
[ας καὶ ἰσοπολειτείας, ἀποστεί]λαντες ἀρχιθ[έ]-
[ωρον 'Επιδαύριον Νικάρχου, θ]εωρὸν Σωσίστρα-
[τον Καφισίου ἐπαγγέλλοντι τ]ὰν θυσίαν, ἂν θύο[ν]-
[τι τῶι 'Ασκλαπιῶι, καὶ τοὺς] ἀγῶνας, οὓς τίθεντι
[μουσικὸν καὶ γυμνικὸν κα]τὰ πενταετηρίδα, καὶ
[ἀξιῶντι δεῖν κοινων]εῖν τὰν ἁμὰμ πόλιν
[ἐμφανίζοντες τὰν οἰκει]ότατα καὶ εὔνοιαν
[ταῖς πολίεσσι, καλ]ῶς δὲ ἔχον ἐστὶ τάν τε ἐ-
[παγγελίαν παρ' αὐ]τῶν δέχεσθαι καὶ φανερὸν
(*b*) πο[ιῆσαι αὐτοῖς], διότι μνάμαν ἔχοντες διατε-
λοῦμ[ες τᾶς] ὑπαρχούσας ποτ' αὐτὸς (*sic*) συγγενείας
ἔν τε ταῖς πατρ[ί]οις θυσίαις, αἷς παρελάβομες
παρ' αὐτῶν, καὶ ἐν ταῖς παναγυρίεσσι κατακαλοῦν-
τες αὐτοὺς καθὰ καὶ τοὺς ἄλλους οἰκιστάς, δε-
δόχθαι ἐπ' ἀγαθᾶι τύχαι καὶ ὑγιείαι καὶ σωτηρίαι
καὶ ὁμονοίαι τοῦ δάμου τῶγ Γελώιων καὶ τῶν
Κώιων· δέξασθαι παρ' αὐτῶν ⟨τάν⟩ τε θυσίαν, ἃμ ποιεῦν-
(*c*) ται τῶ[ι 'Α]σκλ[α]πιῶι, καὶ τοὺς ἀγῶνας· ϟ καλεῖν
δὲ καὶ ἐπὶ ξ[ένια τοὺς θ]εωροὺς τούτους τε καὶ
τοὺς ἀεὶ παρ[αγινομέν]ους πάσσας (*sic*) τὰς ἁμέρας,
ἃς κα ἐπιδα[μέωντι· διδό]ντω δὲ αὐτοῖς καὶ οἱ πω-
λητῆρες εἷς [τε τὰν] θυσ[ίαν κα]ὶ τὰμ πομπὰν τῶι 'Ασ-
κλαπιῶι, ὅσσο[ν κ]αὶ τοῖς [τ]ὰ 'Ολύμπια περιαγγελ-
λόντεσσι, ἀρ[γυ]ρίου δοκίμου [δέ]κα μνᾶς· θυσάντω
δὲ καὶ οἱ θεωρο[ὶ μ]ετὰ τῶν ἱερ[ομναμόνω]ν(?) καὶ ἱερ[α]-
πόλων ἐπὶ τᾶς ἑστίας τᾶς κ[οινᾶς .....c. 10..... ἄρ]-
νας καὶ ἐν τῶι ['Ασκ]λαπιείωι ἱε[ρεῖον τέλειον ὑπὲρ]
τοῦ δάμου τῶ[γ Γελώιων καὶ τῶν Κώιων· οἱ δὲ πωλη]-
τῆρες δ[όντω αὐτοῖς----------]
(*d*)

26. Deest in lapide τάν.

381. Decretum civitatis Cii, eisdem de rebus, a. 242ª. — Tabula undique mutila. Praecedunt septem versuum reliquiae, dialecto Dorica compositae. Her-Kla. n. 14.

vacat Κιαν[ῶν].
[- ἐπειδὴ] Κῶιοι [φίλοι ὄντες ἀπεστάλκασι πρὸς]
[τὴν ἡμετέραν πόλιν(?) θεωροὺς Αἰ]σχρον [Θευδότου, Ἐπικλῆ Ἀγορακρίτου,]
[καὶ ἀρχιθέωρον Ἱππότην Εὐκ]ρίτου ἐπα[γγέλλοντες τήν τε θυσίαν]
[καὶ τοὺς ἀγῶνας, οὓς συντε]λοῦσιν τῶι Ἀ[σκληπιῶι, καὶ ἀξιοῦσιν τὸ ἱε]-
[ρὸν τοῦ Ἀσκληπιοῦ τὸ παρ' α]ὐτοῖς ἄσυλον [εἶναι, δεδόχθαι τῶι δήμωι·]
[τήν τε θυσίαν καὶ τὴν ἐκεχ]ειρίαν δέχεσ[θαι· ὑπάρχειν δὲ τὸ ἱερὸν ἄ]-
[συλον, καθάπερ Κῶιοι ἀξιοῦ]σ[ι]ν· δοῦνα[ι δὲ τὸν ταμίαν τοῖς θεωροῖς]
[εἰς ξένια καὶ εἰς ἀπαρχὴν τὰ ἐκ τ]οῦ νόμ[ου].

vacat

382. Decretum civitatis Iasi, eisdem de rebus, a. 242ᵃ. — Tria fragmenta (*b*, *c*, *d*) quae composuerat Herzog. Addidit Kla. etiam fragm. *a* (partis superioris), quia litteris eiusdem formae expressum et ad finem in rasura scriptum quae in frag. *b* iterum apparet, de quo vid. adn. infra. Her-Kla. n. 15.

(*b*)

[*vacat ?*] Ἰασοῦ. *vacat* (*c*)
[ἐπὶ στεφανηφόρου ...ᶜ. ¹⁰...]μου· ἐπειδὴ Κῶιοι φίλοι ὄ[ντ]ες ἀφεσ- (*d*)
[τάλκασι θεωροὺς Αἰσχρον Θευδ]ότου, Ἐπικλῆ Ἀγορακρ[ίτου] καὶ ἀρχιθέ-
[ωρον Ἱππότην Εὐκρίτου ἐπαγ]γέλλοντες θυ[σ]ί[αν τε καὶ] πανήγυριν
[τοῦ Ἀσκληπιοῦ καὶ ἐκεχειρίας] κα⟨ὶ⟩ ἀξιοῦσι τὸ [ἱερὸν τοῦ] Ἀσκληπιοῦ
[τὸ ἐν Κῶι ἄσυλον νομίζειν, ἀγαθ]ῆι τύχηι δεδό[χθαι τῆι βο]υλῆι καὶ τῶι δ[ή]-
[μωι· ἀποδέχεσθαι τὴν θυσίαν καὶ] τὰς ἐκεχ[ειρίας καὶ τὸ ἱ]ερὸν τοῦ Ἀσκλ[η]-
[πιοῦ ἄσυλον εἶναι, καθὼς ἀξιοῦσι Κ]ῶιοι, ε[ἰς ἅπαντα τὸ]ν χρόνον· ἐὰν [δέ]
[τις παραβαίνηι - - - - - - - - - -] Ο [- - - - - - - - - - ἔν]οχος ἔστω τ²⁻³...
- ν μήτε ει - - - - - - -
- εἶνα[ι - - - - - - -]

5. Lap. KA. | numquam incisum, quamvis spatium paratum erat. In fragm. *a*, quod omisit Kla., decretorum duorum habemus reliquias, quorum unum dialecto Communi atque alterum Aeolica expressum. Necnon et in hoc ἀρχιθέωρος Ἱππότης nominatur.

383. Decretum civitatis Arsinoae, eisdem de rebus, a. 242ᵃ. — Tabula marm. albi undique mutila. Praecedunt duodecim versuum reliquiae, in quibus duorum decretorum exstant fragmenta. Plerisque civitatibus nomen Arsinoae datum est, quarum de Patara hic agi credebat Herzog. Coresiam in insula Ceo non sine dubio proponit Kla. Her-Kla. n. 16.

- - - - - - - - - - - - ἔδοξεν τῆι βου[λῆι καὶ τῶι δήμωι· ἐπειδὴ
παραγενόμενοι]
[παρὰ τῆς πόλεως τῆς] Κώιων ἀρχιθέωρ[ός τε Ἡριππίδας καὶ
θεωρὸς ...ᶜ. ¹⁰...]

[ἐπαγγέλλουσιν ἐκεχ]ειρίαν καὶ θυσ[ίαν καὶ ἀγῶνας, οὓς
συντελοῦσιν Κῶιοι τῶι]
[Ἀσκληπιῶι, ἀξιοῦσ]ι δὲ καὶ ἄσυλον [ὑπάρχειν τὸ ἱερὸν τοῦ
Ἀσκληπιοῦ εἰς πάντα]
[τὸν χρόνον τὰ ἀπὸ Ἀρσιν]οητῶν, ὅπ[ως ἂμ φαίνηται ὁ δῆμος ὁ
Ἀρσινοητῶν δια]-
[φυλάττων τήν τε πρὸς τοὺς θεοὺς εὐσέβειαν κτλ.]

2. Nomen Heripp idae e decretis praecedentibus exortum.

384. Decreta duo notant edd. quibus nomina civitatium desunt, nec nomina legatorum videntur superesse. Quorum unum Teo Herzog, Prienae Kla. ascribit. Alterum dialecto Dorica expressum fortasse Rhodiis tribuendum. Her-Kla. p. 27.

385. Lex sacra de sacrificiis a vectigalium redemptoribus faciendis, ex. s. IIIᵃ. — *Syll.*³ 1000 tractavit cum adnotationibus uberrimis W. A. L. Vreeken, *De lege quadam sacra Coorum* (Diss. Univ. Rhenotraiectinae), 1953, qui aetati attribuit paullo antiquiori quam Dittenberger, ut significavimus. Cf. M. Segre, *Tituli Calymnii*, p. 27.

CALYMNUS

386. Corpus titulorum Calymniorum a Mario Segre diu paratum post mortem eius labore piissimo in lucem prodidit G. Pugliese Carratelli. In *Annuario* XXII/XXIII (NS V/VI) 1944/5 (re vera tamen ann. 1952 publicatum) continetur, sed *Tituli Calymnii* ut faciliore abbreviatione quoad *SEG* pertinet uti malemus. Post testimonia de Calymni historia, dissertationemque de investigationibus epigraphicis in ipsa insula factis, hunc in modum numerantur inscriptiones:

1-72 Calymniorum decreta.
73-84 Exterarum urbium decreta:
  73-78 Coorum.
  79 Cnidiorum arbitrium.
  80-84 Fragmenta dubia.
85-96 Catalogi.
97-120 Res sacrae:
  97 Fastorum frag.
  98-113 Dedicationes Apollini.
  114-120 Dedicationes deis ceteris.
121-151 Statuarum humanarum dedicationes.
152-212 Manumissiones.
213-228 Tituli sepulcrales.
229-232 Tituli Christiani.
233-249 Varia et incerta.
250 Inscr. ex insula Pserimo.

Cf. G. Klaffenbach, *Gnomon* XXV 1953, 453/61, qui nonnullas inscriptiones hoc volumine expositas corrigit et de rebus historicis etiam tractat.

CHIUS

387. Inscrr. in vas. fict. Chiis c. a. 575/55[a] pictas tract. R. M. Cook et A. G. Woodhead, *BSA* XLVII 1952, 159/70.

388. Epigramma, ex. s. V[a]. — *Chius*, in museo. Stelam in qua repraesentationes puellarum saltantium sunt incisae cum epigrammate fortasse sepulcrali ed. N. M. Contoleon, *BCH* LXXI/II 1947/8, 273/301 (inscr. p. 278).

πολλὰ ἐ - - - - - - - - - - - - Στοιχ. *c.* 13?
χλιδῆς - - - - - - - - - [τ ?] -
ἄφον ἐ - - - - - - - - - - - -
σαν ν - - - - - - - - - - - - -
5 εος ε - - - - - - - - - - - - - -
τερ - - - - - - - - - - - - - - -

3-4. [ἔστη]σαν vel [ἐκόσμη]σαν?

389. Inscriptiones plerasque descripsit in insula Chio D. W. S. Hunt, quas tractavit *BSA* XLI 1940/5, 29/47. Cf. J. et L. Robert, *REG* LXII 1949, 132 (n. 133). Quarum non omnes hic transcripsimus, sed unam litteris valde quadratis scriptam atque aet. imp. tribuendam inclusimus (p. 37/8). Lapis cum corona, in qua neglegenter inscribitur

(*a*) ΙΕΝΕω ΙΕΚΕΑΠΕΛΛC.

(*b*) ἐμνήσθη Μαρκιανὸς | Ἐφέσιος Εὐτυχέους | ἀρχιατροῦ φίλου. (*hedera*)

(*a*). - - - ιε νεώτερε Ἀπελλο[ῦς - - - Robert: - - ιένεω ἱερέα πελλ - - Hunt.

390. Honores iudicum Naxiorum et Andriorum, c. a. 300[a] (?). — Descripsit D. W. S. Hunt, *loc. cit.*, 45/6, in museo Chio. Lap. marm. subcaerul., cuius litterae ad utramque marginem aliquae deficiunt.

Ἔδοξε τῶι δήμωι. | Ἐπειδὴ οἱ δικασταὶ οἵ τε Νάξιοι κα[ὶ] | Ἄνδριοι ἐπελθόντες ἐπὶ τὸν δῆμ[ον] | ἠξίουν ἀποστέλλεσθαι διὰ
5 τὸ χρόνο[ν] ‖ πολὺν αὐτοῖς εἶναι τῆς ἀποδημίας, δεδό|χθαι τῶι δήμωι ἐπαινέσαι μὲν τὰς πό|[λ]εις ἀμφοτέρας ὅτι φιλοτίμως καὶ οἰ|[κ]είως ἀπέστειλαν ἡμῖν τὰ δικαστή|ρια, ἐπαινέσαι δὲ καὶ τοὺς
10 δικαστὰς ὅτι ‖ [κ]αλῶς καὶ δικαίως ἐδίκαζον τὰς [δίκας, | κ]αὶ στεφανῶσαι ἑκάτερον τῶ[ν δικαστη|ρ]ίων χρυσῶι στεφάνωι ἀπὸ [δραχμῶν ἑκατὸν | Ἀ]λεξανδρείων· δεδόσθαι δ[ὲ προεδρίαν | κα]ὶ
15 αὐτοῖς καὶ ἐγγόνοις δη[μοσίοις ‖ ἀγ]ῶσιν, καὶ εἰσπλουν [καὶ

ἔκπλουν πολέμου | κα]ὶ εἰρήνης ἀσυλεὶ καὶ ἀ[σπονδεί, καὶ δίκας | π]ροδίκους, καὶ ἀτέλ[ειαν ὧν ἂν εἰσάγωσιν ἢ] | ἐξάγωσιν· ἐπικτήσε[ις δὲ γῆς καὶ οἰκίας] | εἶναι ἐὰν βούλωντα[ι· καὶ ἵνα πᾶσι
20 φανερὸς] ‖ ἦι ὁ δῆμος ὅτι ἐπίσ[ταται χάριτας ἀποδι|δ]όναι τοῖς δικαίοις [ἀνδράσιν ἀξίας, ἀνει|]πεῖν τὸγ κήρυκα νομ[ίμως τόδε τὸ ψήφι]|σμα· ὁ δ[ῆμ]ος ὁ Χίων [ἐτίμησε τοὺς δι|κ]αστὰς τούς τε
25 Ναξ[ίους καὶ Ἀνδρίους δικαι]‖οσύνης ἕνεκα τῆς ἐν [ταῖς δίκαις χρυσῶι] | στ[ε]φάνωι ἀφ' ἑκατὸν [δραχμῶν ἕκαστον καὶ | πρ]οξενίαι καὶ πολιτεία[ι καὶ αὐτοὺς καὶ ἐγ|γό]νους· ἐπιμεληθῆναι δ[ὲ τοῦδε τοῦ κηρύγμα]|τος Μεγαρέα τὸν ἀγωνοθ[έτην καὶ τοὺς] ‖
30 πρυτάνεις τοὺς ἐνεστῶτας, [καὶ γραψάν]|των εἰς τὴν στήλην τὴν προξ[ενικὴν τήν] | τε πόλιν ἑκατέρων καὶ τὰ ὀνόμ[ατα πατρό|θε]ν· δοῦναι δὲ τοὺς ταμίας ἑκα[τέρωι τῶν | δι]καστηρίων τὸ εἰς τὸν
35 στέφανο[ν ἀνάλωμα, ‖ δ]οῦναι δὲ καὶ εἰς κομιδὴν ἑκά[στωι τῶν | δι]καστῶν· δραχμὰς πεντήκον[τα, καὶ τοὺς | ἐξετα]στὰς μετὰ τῶμ πολεμάρ[χων ἐπι|μεληθ]ῆναι ὅπως ἐπὶ τριήρους ἐ[πανέλθω|σιν
40 οἱ δι]καστα[ί· ὅπως δὲ καὶ ἀείμνη[στος ἡ ‖ τῶν ἀν]δρῶν δικαιότης ἦι καὶ οἱ λ[οιποὶ ἀεὶ | καλὰ π]ράττωσι πρὸς τὸν δῆμον, [τοὺς πρυ|τάνει]ς ἀναγράψαντας εἰς στήλ[ην λιθί|νην τό]δε τὸ ψήφισμα καὶ τὰ ὀνόματ[α τῶν ἀν|δρῶν π]ατρόθεν καὶ ἐξ ἧς πόλεως [ἑκάτε-
45 ρον ‖ τῶν δι]καστηρίων ἐστίν, στῆσαι ἐς τὸ ἰε[ρόν· | ⁝⁝ τὸ δὲ ἀ]νάλωμα τὸ εἰς τὴν στήλην | δοῦναι τοὺς ταμίας.

In latere:

50 Ἐκ Νάξο[υ] | Ἐπιγενίδης Ἡγησιμάχου, ‖ Σώσιλος Ἱππολύτου, | Ξενό[φ]αντος [Ἀ]ρχέλεω, | Εὐχάρης Εὐστράτου, | Σώπολις Σω-
55 σίου. | *vac.* | Ἐξ Ἄνδρου ‖ Πυθόδωρος Πυθίππου, | Μυρτίας Ἰδνάδου, | Κλεόδωρος Κλευνίκο[υ], | Θεογένης Ἀρχαγορίδο[υ], | Θεότιμος Ῥικώνος.

Hanc editionem non viderat N. M. Contoleon cum inscriptionem eandem ipse quoque edidit, *Rev. Phil.* XXIII 1949, 9/13. Cuius supplementa et lectiones locis nonnullis ab Hunt discrepant, quare potiora hic etiam addidimus.

6-7. π[ό]λεις. 13 fin. δ[ὲ τοῖς δικασταῖς].
14-15. αὐτοῖς καὶ ἐγγόνοις π[ροεδρίαν ἐν τοῖς | ἀγ]ῶσιν.
18. ἐξάγωσιν ἐπὶ κτή[σει· καὶ γῆς (?) ἐγκτησιν(?)] | κτλ.
19 fin. [ὅπως δὲ καὶ φανερὸς] | ἦι κτλ.
21 med. τοῖς δικαίοις [τῶν ἀνδρῶν, ἀνει]|πεῖν κτλ.
22. τὸγ κήρυκα Διον[υσίοις τόδε τὸ κήρυ|γ]μα κτλ.
23. στεφανοῖ pro ἐτίμησε. 25 fin. τῆς εἰς [ἑαυτόν.
26 fin. [- - τιμᾶι δὲ] κτλ. 30 fin. [οἱ καὶ ἀναγραψάν]|των.
34 fin. [ἀργύριον] pro [ἀνάλωμα]. 38 fin. κ[ομισθῶ|σιν] pro ἐ[πανέλθω|σιν].
40-41. [ὁ|μοίως π]ράττωσι pro [ἀεὶ | καλὰ π]ράττωσι.
43 fin. [τῶν δικα|στῶν] pro [τῶν ἀν|δρῶν]. 48. Ἐγ Νάξου.
Cf. J. et L. Robert, *REG* LXII 1949, 132/3 (n. 133).

SAMUS

391. Dedicatio Iunoni, c. a. 580/70ª. — Stelam marm. in fenestra Capellae Panayitsae prope *Chora* ann. 1924 invenit A. Rehm, sed nunc primum edidit G. Klaffenbach, *Deutsch. Mitt.* VI 1953, 15/20, c. im. ph. pl. 3. Nunc in museo Heraei conservata : supra et partim a sinistra fracta. Cf. A. Rehm, *Gnomon* II 1926, 123 ; E. Buschor, *Ath. Mitt.* LV 1930, 46/7, *Altsamische Standbilder* 56.

. . νίσκος Ξ[εν]-
[ο]δόκο, Δῆμι[ς]
[Π]υθοκλέος ο-
[ἰ]κήι{ηι}οι (?) Περ[ί]-
νθιοι τῆι Ἥρ-
ηι ἀνέθεσαν
δεκάτην ἔρ-
δοντες γορ-
γύρην χρυσῆ-
ν, σερῆνα ἀργ-
ύρεον, φιάλη-
ν ἀργυρῆν, λυ-
χνίην χαλκῆ-
ν ὀνονημένα
σύνπαντα δ-
[ι]ηκοσίων δυ-
ωδέκων στατ-
ήρων Σαμίω-
ν σὺν τῶι λίθω[ι].
vacat

392. Dedicatio Aeacis Iunoni, s. VIª, p. post. — *Syll.*³ 10, Tod *GHI* 1² 7 et p. 258. De tempore dedicationis huius tract. G. Klaffenbach, *loc. cit.*, 16/7, adn. 5, qui inscriptionem haud post a. 500 (ut asseverabat Pomtow) sed haud multum ante finem saeculi sexti tribuendam esse contendit.

393. Tit. honorarius, s. IIIᵖ. — Ἀρχ. Δελτ. IX 1924/5, 102/4 n. 2 breviter tract. G. Klaffenbach, *Studies presented to David Moore Robinson* II 1953, 293/4 n. 4.

SAMOTHRACIA

394. De Cabeiris qui Samothraciae alibique diversis nominibus colebantur tractavit Bengt Hemberg, *Die Kabiren* (Uppsala 1950), et inscriptionum quibus usus erat indicem addit pp. 363/6. Cf. 393/4.

395. Lex sacra, s. IIª. — Stela marm. infra et a dextra fracta. Ed. K. Lehmann, *Hesperia* XXII 1953, 14/5, c. im. ph. pl. 6e. Cf. *AJA* XLIII 1939, 138, fig. 6. Ἀμύητον | μὴ εἰσιέναι | εἰς τὸ ἱερόν.

396. Dedicationes, ex. s. IVª. — Fragm. epistylii cum *BCH* XLIX 1925, 245 sqq., fig. 2/3 (*IG* XII suppl. p. 149, n. 228) coniunxit K. Lehmann, *Hesperia* XXII 1953, 18/21, et Arrhidaeo, post Alexandrum Magnum regi Macedonum, attribuit. Inscr. eadem iterum in lapidibus aliis duobus inventa est, et hunc fere in modum restitui potest. Cf. B. Hemberg, *Die Kabiren*, 51/2. Vid. tamen J. et L. Robert, *REG* LXVII 1954, 158/9 n. 207.

[Ἀρρ]ιδαῖος Ι[- - - - - ἀπὸ λαφ]ύρων θεο[ῖς] μ[εγάλοις].

397. Tituli vasorum, s. VI/Vª ? — *Graffiti* in fragm. vasorum ed. K. Lehmann, *Hesperia* XXII 1953, 6/7, c. im. ph. pl. 3c.

a) ΔΕΛ *b*) ΔΕ *c*) ΑΔΕΛ *d*) ΤΩΜΜΥ *e*) . . ΥΟΔΙ4F:

THASUS

398. Praescriptio de vasorum mensura, s. Vª (paullo post a. 449ª ?). — Lap. marm. a dextra fractum, inv. 657, ed. et interpretata est Mabel Lang, *BCH* LXXVI 1952, 18/31, c. im. ph. fig. 1.

τῶν ἀγγέων μέτρον δ[Γ] Στοιχ.
[Γ] Γ : [Γ] Δ :
ΔΔΔΔΙΙΙΙ : ΔΔΙΙ

LEMNUS

399. Epistula Philippi V ad cleruchos Athenienses Lemnum incolentes, a. 221/179ª. — In insula Lemno ad Cabirium reperta, nunc *Athenis* in Mus. Epigr. n. 13148. Ed. S. Accame, *Riv. di Fil*, NS XIX 1942, 179/93. (cf. J. et L. Robert, *REG* LVII 1944, 221 n. 150). Novis lectionibus recognoverunt P. M. Fraser et A. H. McDonald, *JRS* XLII 1952, 81/3, c. im. ph. ectypi pl. X 2.

Βασιλεὺς Φίλιππος Ἀθ[η]ναί[ων]
τῶν ἐν Ἡφαιστίαι τεῖ βουλεῖ
καὶ τῶι δήμωι χαίρειν·
ἀνέγνων τὸ παρ' ὑμ[ῶν]
ψήφισμα καὶ ἐμοὶ μὲν
προέκειτο διὰ τὴν πρὸ[ς]
θεοὺς ὁσιότητα ἰδεῖν [τὰ]
παρ' ὑμῖν ἱερά, πεμψ[άν]-
των δὲ καὶ γράμματ[α]
καὶ πρεσβείαν περὶ τ[ῶν]
αὐτῶν, ἵνα κομιζόμ[ε]-
νος [τὸ] θ[ε]ῖον [μυ]ηθ[ῶ - -] (?)
καὶ πάντες εἰδῶσιν [Ἕλλη]-
νες ἣν ἔχω εὐσέβεια[ν πρὸς]
τοὺς κρείσσονας καὶ ὑ[περά]-
νω ἡμῶν θεοὺς Ἄν[ακας καὶ]
τὸ ἱερὸν Ἀνά[κων? - - - - - -]
. . ἐξ ἐμοῦ - - - - - - - - - - - -
- - - - ιαονε - - - - - - - - - - -

Litterae lineis subscriptae ab Accame visae sed casu recentiore perditae.
Vss. 11/4.
κομιζόμ[ε]-
νο[ι κα]θη[κ]όν[τως Ἀ]θην[αῖοι]
καὶ πάντε[ς] εἰδῶσιν [Ἕλλη]-
νες κτλ. Accame.

„We feel able to state categorically that Ἀθηναῖοι can never have been carved." Fr. et McDon.

Cf. etiam J. et L. Robert, *REG* LXVI 1953, 162 n. 162.

EUBOEA

400. Tituli Vasorum. — *Eretria.* Inscr. in amphora pictas, quam s. VIª haesitanter attrib., commemoravit J. Boardman, *BSA* XLVII 1952, 43/4, c. del. fig. 25.

(*a*) Καλλιμνς καλά. (*b*) Κ. . . . ελεια κ[α]λά.

401. *Graffito*, CVA Bonn 47, pl. 40, 1, 3. J. Boardman, *ibid.*, 44.

*h*εμιτριτ . νπτ . ι . δ . ρ

CRETA

402. *Gortyna.* De legibus Gortyniis tractavit R. F. Willetts, *The historical importance of the Gortyn Laws* (*University of Birmingham Historical Journal* III 1952, 95/118).

403. De τίταις apud Gortynios egit id., *Hermes* LXXXI 1953, 384, ubi τίται in Aeschyli *Choephoris* vss. 66/7 adducit.

404. Basis statuae, s. II^{p}. — *Ibid. Inscr. Cret.* IV 300. Vid. J. H. Oliver, *Hesperia* XXI 1952, 397/9.

SICILIA

405. *Syracusae.* De origine abecedarii Syracusani tract. M. Guarducci, *Annuario* XXVII/IX (NS XI/XIII) 1949/51, 103/7. Cf. Rhys Carpenter, *AJA* XLIX 1945, 453/6.

406. IG XIV 1 (SEG IV 1) novis lectionibus tract. M. Guarducci, *Arch. Class.* I 1949, 4/10, c. im. ph. pl. I et del. pl. II. Cf. T. J. Dunbabin, *The Western Greeks*, 59 adn. 3.

Κλεο[. . .]ες ἐποίεσε τὸπέλονι *h*ο Κνιδιε[ί]δα κ' Ἐπικ[λ]ῆς (σ)τύλεια καλὰ ϝέργα.

407. Decretum Acraeorum (vel Syracusanorum) de civibus Megarae Hyblaeae (?), c. a. 483/2^{a}. — *Acrae.* SEG IV 27 denuo ed. M. Guarducci, *Annuario* XXVII/IX (NS XI/XIII) 1949/51, 111/4, c. im. ph. fig. 5, quae de Megara a Gelone capta agi haesitanter proponit.

--------οι ἐψαφίσαν-
[το ----ἀτ]ἐλειαν καὶ ἔν-
[κτασιν - - *h*ομά?]λικα γαμόρον
[--------ἀ]ρχᾶν πεδεῖμ-
[εν -------] *h*ιππάρχου καὶ
----

408. Tit. sepulcralis, s. VI^{a}. — *Ibid.* IG XIV 227 : Schwyzer, *DGE* 146, 1. Breviter att. M. Guarducci, *loc. cit.*, 104, c. del. fig. 2.

[Λ]ῦσις *h*ο Τιμ|άδου. *Boustroph.*

409. Dedicatio hero Antiphamo, s. VI/V^{a}. — *Gela. Graffito* in pede cylicis. Schwyzer, *DGE* 303. Tract. M. Guarducci, *loc. cit.*, 107/11 c. im. ph. fig. 3, quae Gelenses cum Megareis et Tanagraeis quodam modo coniunctos fuisse credit, coll. n. 410 infra.

410. Dedicatio hero Chaeresileo, s. VI/V^{a}. — *Ibid.* Basem marm. contulit nov. lect. M. Guarducci, *loc. cit.* c. del. fig. 4.

Λεύκον Χαιρεσίλεοι.

411. Dedicatio Cereri Malophoro, in. s. V^{a}. — *Selinus.* Schwyzer, *DGE* 167, 1 ; *SGDI* 5213. Recognovit M. Guarducci, *loc. cit.* (n. 407 supra), 114/6, c. im. ph. fig. 6, et bibliographia 114 adn. 3.

Θέυλλος Πυρρία | ἀνέθεκε τᾶι | Μαλοφόροι, | πυρὰν ἐνπελά||νον.

ITALIA

412. Dedicatio Iunoni, in. s. VI^{a}. — *Paestum.* Discus argenteus litteris Achaicis sinistrorsum incisus. Ed. M. Guarducci, *Arch. Class.* IV 1952, 145/52, c. im. ph. pl. XXIX.

Τᾶς *h*έρας *h*ιαρόν. Fρῶνθι τόξ' ἀμῖν.

Fρῶνθι fortasse ex eadem radice qua ῥώννυμι?

413. *Neapolis.* IG XIV 724. Nomen Ἐμαυτός ex IG IX^{2} 1 137$_{101}$ confirmat G. Klaffenbach, *Studies presented to David Moore Robinson* II 1953, 293 n. 3. Cf. M. Guarducci, *Mem. Acc. Lincei* (Ser. VI) VIII 1938, 133 n. xliv.

414. Tit. sepulcralis, med. s. III^{p}. — *Roma.* A. Ferrua, *Epigraphica* IV 1942, 56 n. 35 (tit. sep. in basilica S. Sebastiani inv.) denuo tract. G. Klaffenbach, *Studies presented to David Moore Robinson* II 1953, 289/90 n. 1.

[ἐ]νθάδε κεῖ-
[τ]αι πᾶσιν
[π]οθινὸς
[Ε]ὐετέων
['Α]μασεὺς καὶ
[Ψ]εκάδος θάλ-
[πε]τε μνήμη.

6/7. θάλπετε = θάλπεται.

415. *Ibid.* De cultu senatus Romani apud provincias tract. Giovanni Forni, Ἱερὰ e θεὸς σύγκλητος, *Mem. Acc. Lincei* (Ser. VIII) V 1953, 49/168. Inscriptiones ad eam rem pertinentes congessit pp. 163/8.
Cf. J. et L. Robert, *REG* LXVII 1954, 111/3 n. 54.

416-7. Tituli Vasorum.

416. Fragm. vasis *Caere* repertum ed. M. Guarducci, *Arch. Class.* IV 1952, 241/4, c. im. ph. pl. LVII, 1. Litt. ut videtur Atticae sinistrorsum incisae et med. s. VI^{a} attribuendae. Confert ed. etiam tres vasorum titulos nunc *Parisiis* apud Louvre servatos (pl. LVII, 2-4), quos subscripsimus.

1. Κόραθός εἰμ[ι].
2. (*a*). Μύρμεθος (*b*). Περάδο εἰμί (*c*). Λασαργάδο.

417. Signaculum medici ocularii, s. I^{a} (?). — Vasculum plumbeum nunc Museo Villae Iuliae servatum ed. eadem, *loc. cit.*, 254/6, c. del. fig. 1, coll. IG XIV 2406. λύκιον Ἀκεστία. (*bis*)

CARIA

418-60. *Cnidus*. Titulos Cnidios a. 1949/50 inv. edd. G. E. Bean et J. M. Cook, *BSA* XLVII 1952, 171/212 (praecip. 185/201). De loco urbis antiquioris disserentes, inscriptiones quoad pertinent pp. 205/8 proferunt. Non omnes transcripsimus, sed quae potiores videntur inclusimus, ordine eodem quo usi sunt edd. Ectypa pleraque nunc *Cantabrigiae* in Museo Class. Arch. conservantur. Cf. J. et L. Robert, *REG* LXVII 1954, 164/9 n. 228.

418. Proxenia, ante med. s. IV^{a}. — Stela lap. calc. a sinistra incolum., nunc *Reşadiye* in schola. B-C. n. 2, c. im. ph. pl. 40*b*.

Ἰθμιν, Ρομμ. Ιμν. 2905

[Ἔδοξε Κνιδίοις, γνώ]- Στοιχ. 15.
[μα π]ροστατᾶν· π[ερὶ]
ὧν Πυθόνικος ἐ[πῆλ]-
θε· Παρμένοντα . . .
ψιος Λαμψακηνό[ν, ἐ]-
πείπερ πρόθυμό[ς ἐ]-
[σ]τι ἐς τὰν πόλιν, [πο]-
[λίτα]ν ἦ[μ]εν κα[ὶ αὐτ]-
[ὸν καὶ ἐκγόν]ο[υς . .]
[. . . . . .]

Vss. 1/2 rest. edd. coll. *Syll*^{3}. 187 et 978.

419. Decreta duo de Chalcetis, c. med. s. IV^{a}. — Fragm. stel. lap. calc., infra et supra fract., nunc *Reşadiye* in schola. B-C. n. 3, c. im. ph. pl. 40*f*.

[Χα]λκεᾶται Κ[νιδίων ε]-
[ὐερ]γέται. ἔδωκ[αν Κνίδ]-
[ιοι] Χαλκεάταις ἔσ[πλο]-
[ν καὶ] ἔκπλον καὶ ἐμ πολέ-
[μω]ι καὶ ἐν Ἰρήναι ἀσπον-
[δὶ κ]αὶ ἀσυλὶ καὶ γᾶς ἐνών[ὰ]-
[ν καὶ] πολιτείας μετῆμε-
[ν]. *vacat*
[. . . . .] Χαλκητᾶν Ε- - -
- - - - - - - - - - - - - - - - - -

Vss 1/3 rest. Klaffenbach per epist., de qua nos certiores fecit B.

420. Terminus portus, s. IV^{a}. — Olim capitulum aedificii cuiusdam, postea *Körmen Limanı* in terminum refectum, nunc *Karaköy* in ecclesia Islamica. B-C. n. 4, c. im. ph. pl. 38*e*.

Ὅρος λι|μένος.

421. Mon. sep., ante med. s. IV^{a}. — Fragm. lap. calc., nunc *Reşadiye* in schola, cum *REG* IX 1896, 421/2 n. 10, coniunx. B-C. qui text. compositum proferunt n. 5, c. im. ph. novi fragmenti pl. 41*c*.

Μήτηρ Εὐφραγόρα ΠΕ - - - - - - - Στοιχ.
γῆν πατρίδα προλιπο - - - - - - -
ταῦτα ἐλεγε[ῖ]ον ἰαμβ - - - - - - -
Μουσῶν ἐμπε[ί]ροις ΕΥ - - - - - - -

422. Mon. sep. Eubuli, Nicasii f., s. IV/III^{a}. — Stela lap. calc., nunc *Datça*. B-C. n. 9. Μνᾶμα τόδε | Εὐβώλου | Νικασίο υἱõ.

423. Dedicatio Veneri, s. IV/III^{a}. — Stelae pars super. cum anaglypho, nunc *Reşadiye* in schola. B-C. n. 10.

. . . . ΤΑ Ν- - - | Ἀφροδίται | Πειθοῖ.

424. Mon. sep. Epitadei, s. III^{a} (?). — *Reşadiye*, in eccl. Islam. prope scholam. B-C. n. 11.

Μνᾶμα Ἐπιταδείο θυγατρὸς τόδε παῖδε[ς] ἔθηκ[αν].
vacat

425. Mon. sep. Soteriae, aet. imp. Rom. — Stela lap. calc. cum fastigio et acroteriis, nunc *Reşadiye* in schola. B-C. n. 12.

Σωτηρίας Κώ-
ας· τᾶς Ἐπαφρο-
δείτου θυγα-
τρὸς μνείας
χάριν.

426. Mon. sep. Eutychidis, aet. imp. Rom. — *Datça* in aedificio. B-C. n. 13. Εὐτυχί[δος] | τᾶς | Εὐτυ[χ - - - -].

427. Mon. sep., aet. eiusdem. — *Ibid.* B-C. n. 14.

- - - - - - - - - -
- - του υε[ιοῦ?]
αὐτῶν καὶ Εὐ-
τυχίδος τᾶς θρε-
πτᾶς αὐτῶν
Ἐπαφροδείτου
υἱοῦ αὐτῶν.

428. Mon. sep., aet. eiusdem. — *Ibid.* B-C. n. 15.

Γάϊος Ἰούλιος
Διόδ[. . o]ς
Γαΐου [Ἰουλ.] Διονυ-
σίου υἱοῦ Διονυ-
σίου μνίας χάριν.

429. Mon. sep. — *Ibid.* Fragm. stelae a dextra incolume. B-C. n. 16.

- - σικον | [Γλ]ύκιννα | [Εὐ]νομίδος.

430. Mon. sep. — Basis lap. calc. a dextra fracta. *Reşadiye* in campo prope vicum. B-C. n. 17.

ΟΣ - - | Δαμοκράτευς το[ῦ δεῖνος] | ἥρωο[ς].

431. Mon. sep. Primi, aet. imp. Rom. — Stela infra fracta, *Karaköy* inv., nunc *Reşadiye* in schola. B-C. n. 20.

Πρεῖμος | Πρείμου | Ἰδίου πατ|ρὸς μνίας ‖ χάριν.

432. Mon. sep. Rufinae, eiusdem aet. — *Karaköy*, in schola nova inaedificatum. B-C. n. 21.

[Ζ]ώπυρος | [Ῥου]φείνας | [γυ]ναικὸς | [Ἰ]δίας ‖ [μ]νίας | [χ]άριν.

433. Mon. sep., eiusdem aet. — Stela supra fracta. *Karaköy*. B-C. n. 22.

[ὁ δεῖνα | - - - - - -]|δο[ς] | Εὐπόρο[υ] ‖ τῆς συν|βίου μν|ίας χά|ριν.

434. Mon. sep., eiusdem aet. — B-C. n. 24.

Τυ[ρ?]ανι *vac.*
Τυ[ρ?]ανου το[ῦ]
Ἰδιαδρὸς μνε-
ίας χάριν.
Ἄβερως Νείκη
τῇ γυναικὸς μνε-
χάριν. ίας
Μηνᾶ
τοῦ
Εὐφράνορος υἱοῦ.

3. Ἰδιαδρός = Ἰδίου ἀνδρός.

435. Mon. sep. — Frag. lap. calc. a dextra incolume. B-C. n. 26.

[Ἀφ]ορ|[δ]εισίας | [Χ]ρυσάο|ρος.

436. Carmen viale (?), c. a. 500ª. — Lap. calc. undique mutil., *Kumyer* haud procul a vico prope fontem inv.: B-C. n. 27, c. im. ph. pl. 40*a*. Litterae Cnidiae (Π = η, C = ο, ᒣ = γ) notandae, cum Ⅹ = ξ antehac ignota.

vacat
[- - - - - - - - - - -]ι πολίταις πάντας ἀο[- - - - -]
[- - - - - - - - - - -]οισιν καὶ αἴ πέ⟨ρ⟩τις ξένος ἔλ[θηι]
[- - - - - - - - - - -]νεμόεντι καταστὰς *vac.*
[- - - - - - - - - - -]πε παρ' ἐργαστήριον αὐτ[ό?].
vacat

An ἀο[λλεῖς] (vs. 1) et (vs. 3) [οὔρεει - - - ∪ ὑπ' ἠ]νεμόεντι? haesitanter Woodward per ep. ‖ 2. lap. ΠΕΤΙ. ἀστ]οῖσιν B-C. ‖ 4. ἔρ]πε B-C.

437. Pactio de fano Aesculapii, s. IV/IIIª. — Lap. calc. *Kumyer* in aedibus quibusdam inaedificatus. B-C. n. 28, c. im. ph. ectypi fig. 6*a*.

Τέμενος Ἀσκλαπιοῦ | ἀποτελεῖν μίσθωμα | κατ' ἀεὶ κομιδὰς | ἐκ ποθόδου θυσιᾶν.

De genere tituli cf. J. et L. Robert, *loc. cit.*, (supra n. 418) 165/6, qui *Syll.*³ 990 adducunt.

438. Nominum tabula, s. IIIª. — Frag. *Kumyer* inv., nunc *Çeşmeköy*. B-C. n. 29.

non vacat
Στρατονικο - - - -
Κρατιλα - - - - - -
Να . . . ν - - - - - - -
Φιλοκλε - - - - -
'Αριστο - - - - -
Ἐξακ - - - - - - -
Ἀττ[αλ? - - - -]

439. Terminus, aet. incert. — In rupe incis. B-C. n. 30, c. im. ph. pl. 40*d*.

Ὅρος.

440. Mon. sep., aet. Hellenist. — *Zeytincik*. B-C. n. 31.

Ἱπποδάμο[υ] | τοῦ Ἱπποκρατίδα.

441. Mon. sep. — *Ibid.* Stela c. columnis, fastigio, acroteriis. Litt. valde detritae. B-C. n. 32.

[ὁ] δᾶμος
[Π]ανκράτους
τοῦ Ἀναξάν-
δρου
ἥρωος
ὁ δᾶμος.

442. Mon. sep., aet. Roman. — *Cumalıköy*. B-C. n. 33.

Ἰουλίας
Λητοίδος
Τί . Φλ . Κορίνθου
Τί . Φλα . Σωτῆρος
Τίτου Φλαβίου Κορίν-
θου.
Ἰουλίας
Ζωσίμης
Ὑγία Σωτῆρος
ἰδίου ἀνδρὸς
μνίας χάριν.

443. Mon. sep., eiusdem aet. — *Ibid.* Stela supra fracta. Vss. 1/3 postea add. B-C. n. 34.

Νεικηφό-
ρου τοῦ Φι-
λομούσου
Ἀπε⟨λ⟩ίων
Μόρχου
τοῦ ἰδίου υἱοῦ
καὶ τῆς θ⟨ρ⟩επτῆς
Ἐπαγαθῶς
μνίας χάριν.

4. lap. ΑΠΕΑΙΩΝ 5. Μό⟨σ⟩χου? 7. lap. ΘΕΠΤΗC.

444. Mon. sep. — *Ibid.* Stela cum fastigio. B-C. n. 35.

Ἰατρικῆς τῆς | Ἑρμοῦ μνή|μης χάριν.

445. Mon. sep. — *Ibid.* Stelae pars infer. B-C. n. 36, c. im. ph. pl. 41*b*.

[τᾶς δεῖνος, *e.g.* ἐτῶν]
λϝ'
καὶ τᾶς συν-
⟨τρ⟩όφου αὐτᾶ[ς]
Χρυσαρίου.

2/3. lap. συν|συόφου. Notandum est aetatem defuncti perraro in agro Cnidio expressam.

446. Mon. sep. — *Yazıköy.* In ostotheca. B-C. n. 38.

Φιλέρως Φιλέρωτος
Εὐφραινούσας
τᾶς Ἰλάρου, Τύχη-
ς τᾶς Ἰλάρου μα-
τρός.

447. Mon. sep., aet. imp. Rom. — Stela c. fastigio et acroteriis incisis. *Yazıköy.* B-C. n. 39.

Νεικομᾶς | Μοσχείου | τῆς ἰδίας | γυναικὸς ‖ μνείας χάριν.

448. Mon. sep., diversis temporibus inscr. — *Yakaköy.* B-C. n. 41.

Διονυσᾶς Θά(λλου?).
Δημητρίας τᾶ-
ς Ἀπολλωνίου.
Θάλλος δ'.
Διονύσις Θάλλου.
Θάλλου
τοῦ
Θάλλου.
Πώλας
τᾶς
Ἰάσονος.
Γαΐας Εἰουλίας
Ζω⟨σ⟩αρίου τᾶς Βα-
σιλικοῦ.
Ζώπυρος
Θάλλου.

13. lap. Ζωεαρ.

449. Mon. sep. — *Çeşmeköy.* Stela c. fastigio, etc., ut n. 447. B-C. n. 43 c. im. ph. pl. 41*d*.

Διοδώρου | τοῦ Θευδό|του μνεί|ας χάριν.

450. Mon. sep. — *Ibid.* B-C. n. 44. Litt. pessime incis.

[Πρ]αξῖνος | Κνιδίας γυ|ναικὸς μνεί|α⟨ς⟩ χάριν.

451. Mon. sep., vix ante a. 200*p*. — *Tekir.* Basis quadrata. B-C. n. 46, c. im. ph. ectypi fig. 6*b*.

Διογένης | Διογνήτου | τὸν ἀδελφὸν | Τελεσίαν.

452. Honores P. Vinicii, proconsulis Asiae, paullo post a. 2*p*. — *Ibid.* Basis circularis. B-C. n. 47.

ὁ δᾶμος | Πόπλιον Οὐινίκιον | στραταγὸν ἀνθύπατον | ἀρετᾶς
ἕνεκα καὶ ‖ εὐνοίας τᾶς εἰς αὐτὸν | θεοῖς.

De proconsulatu Vinicii vid. *PIR* III p. 436 n. 446, Magie, *Roman Rule in Asia Minor*, 1581.

453. Ara sepulcr., aet. Augusti. — B-C. n. 49. Elegantius inscr. *Ibid.*

Πρίμας Πακου|ίας Ποπλίου | θυγατρὸς τᾶς | καὶ Δαλιάδος.

454. Ara sepulcr. — B-C. n. 50. *Ibid.*

Νείκυτος | τοῦ | Γαΐου | καὶ Τύχης | υἱοῦ.

455. Mon. sep., aet. Rom. — B-C. n. 53. Vix legi potest. *Ibid.*

Ποπλίου | [Γ?]αυίου | ΝΙΙΙΑ.

456. Mon. sep., aet. Rom. — Lap. prope viam iacens. B-C. n. 54.

Ταρσέα καὶ Ὀλυνπιάδου τῶν Ἀρισταγόρα.

457. Mon. sep. M. Vibullii. — B-C. n. 55. De Vibulliis vid. L. Robert, *Hellenica* II, 9/10, R. Syme, *JRS* XXXIX 1949, 17/8.

Μᾶρκος Μάρκου υἱὸς [Οὐει]|βύλλιος.

458. Benedictio Christiana. — *Tekir.* Frag. lap. fusci a sinistra fract. *Psalm.* CXXI 7/8. B-C. n. 59.

[Κύριος φυλάξει σε] ἀπὸ παντὸς κακοῦ,
[φυλάξει τὴν ψυχήν σο]υ ὁ Κύριος· (*rons*)
[Κύριος φυλάξει τὴν εἴσοδόν σου κ]αὶ τὴν ἔξοδόν σου,
[ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος·] ἀμήν.

459. Incluserunt etiam Bean et Cook imagines phot. ectyporum inscriptionum Cnidiarum quae nunc in Museo Britannico servantur. Has quoque ut fortasse alicui utiles notavimus.

BMI 786 : *SGDI* 3500 : *Syll*³. 978 : B-C. pl. 41*a*.
BMI 796 : Kaibel n. 783 : B-C. pl. 41*e*.
BMI 813 : Kaibel n. 785 : B-C. pl. 41*f*.

460. Titulus vasis, ex. s. V^a. — N. Chaviaras, *BCH* XXXVI 1912, 532/3 n. 15. Novam lectionem proferunt B-C., *loc. cit.*, 208.

'Αντιμένεός ἠμι. καλὰ Δωρώι.

461-78. *Caunus*. Titulos Caunios nonnullos ed. G. E. Bean, *JHS* LXXIII 1953, 10/35. Nn. 1/2 ut Caria lingua inscr. omisimus, sed ceteros transcripsimus, qui omnes in ipsa Cauno inventi sunt nisi aliter notavimus. Ectypa nunc *Cantabrigiae* in Museo Class. Arch. conservata. Cf. J. et L. Robert, *REG* LXVII 1954, 169/71 n. 229.

461. De iudicibus Cauniis Smyrnam missis, s. II^a. — Stelâm magnam c. aetomate a Louis Robert, *Hellenica* VII 1949, 171/88, communicatam breviter commemorat B., qui ipse invenit. Continentur quattuor decreta — (i) Smyrnaei populum Caunium et iudices honorant (vss. 1/42), (ii) Smyrnaei scribam iudicum honorant (vss. 43/59), (iii) Decretum Smyrnaeorum accipiunt Caunii (vss. 60/95), (iv) Decretum Cauniorum de stela erigenda (vss. 96/103). Bean n. 7.

462. Decretum Smyrnaeorum de eisdem rebus. — Bean n. 8, c. im. ph. ectypi partis superioris fig. 25. Textum e n. 461 rest., ut qui plerumque eisdem verbis utatur.

[Ἔδοξε] τῆ βου[λῆ] καὶ τῶι δή[μ]ῳ, στρατ[ηγῶν καὶ τοῦ δεῖνος τοῦ δεῖνος]
[γνώμη· ἐπειδὴ] τοῦ δήμου πέμψαντος [πρὸς Καυνίους τὸν αἰτησόμενον]
[δικαστήριον, ὁ δῆ]μος ὁ Καυνίων, [φίλος ὑπάρχων καὶ εὔνους τῷ δήμῳ, καὶ]
[προαιρούμεν]ος ἀπὸ παν[τ]ὸς τοῦ βελτίσ[του συντελεσθῆναι τὰς κρίσεις],
[τὴν πᾶσαν σ]π[ου]δὴν καὶ φιλοτιμ[ί]αν π[οιησ]άμεν[ος περὶ τὴν αἵρεσιν τῶν]
[δικαστῶν, ἀπέσ]τειλεν δικαστάς, ἄνδρας [κ]αλοὺς [καὶ ἀγ]αθ[ούς, τὸν δεῖ]-
[να τοῦ δεῖν]ος, Ζ[ή]νωνα Κ[---, τὸν δεῖνα τοῦ δεῖνος, οἵτινες παραγε]-
[νόμενοι τ]ὰς [μ]ὲν διεδίκασαν τῶν δικῶν καλῶς καὶ δικαίως [καὶ κατὰ τοὺς]
[νόμους, τὴν] πᾶσαν κακοπαθίαν καὶ φιλοπονίαν προσενε[γκάμενοι, τὰς δὲ]
[καὶ διέλυσαν] σπου[δάζο]ν[τ]ες καθ' ὅσον ἦν ἐφ' ἑαυτοῖς, τοὺ[ς δ[ὲ διαφερομένους]
[τῶν πολιτῶν εἰς ὁμόνοια]ν κ[ατέσ]τησαν· ὅπ[ω]ς οὖν καὶ ὁ δῆμ[ος φανερὸς ἦ]
[τοῖς *e.g.* προσφιλῶς ἔχ]ο[υσι]ν ἀποδιδοὺς τὴν καθήκουσαν τ[ιμὴν καὶ χάριν]·
[τύχηι ἀγαθῆι δεδόχθαι ἐπηνῆσ]θαι μὲν τὸν δῆμον τὸν Κ[α]υ[νίων ἐπὶ τῆι αἱ]-
[ρέσει καὶ εὐνοίαι ἧι ἔχων] διατελεῖ [πρ]ὸς τὴν πόλ[ιν ἡμῶν, καὶ ἐπὶ τῶι ἀποσ]-
[τεῖλαι δικαστὰς ἀξίους ἀμφοτέρων τ]ῶν πόλεων, πε[ρὶ πλ[είστου τὸ δίκαιον]
[ποιουμένους, καὶ στεφανῶσαι αὐτὸν κτλ.]

463. Dedicatio collegii magistratuum, act. Hellenist. — Bean n. 5, c. im. ph. ectypi fig. 19.

. . . . . οτέλης Νικοστρ[άτου] [Πα]σανδεύς
['Ολ]υμπιόδωρος 'Επιγόνου Περδικίαθεν
Θεόδωρος 'Ερμώνακτος Πτολεμαιεύς
Θεόδοτος Ζήνω[ν]ος Περδικίαθεν
Μένανδρος Σφηκίωνος Περδικίαθεν
'Αντίπατρος 'Αγρεοφῶντος Ἴμβριος
[Δ]ιονύσιος Μοσχίωνος Πασανδεύς
Μένων Μένωνος [Π]τολεμαιεύς
['Α]γ[ρ]εοφῶν 'Ερμώνακτος [τοῦ] Νέωνος Καρπασυανδεύς
['Ι?]ατροκλῆς Λητοδώρου Περδικίαθεν
['Αρ]τεμίδωρος Βασιλείδο[υ] Περδικίαθεν
[οἱ ἀρ]ξαντες ἐν τῶι ἐπὶ Ἱερέως ['Απολ]λωνίου ἐνιαυτῶι.

464-9. Dedicationes privatae.

464. Fragmentum dedicationis ab Epicharmis Rhodiis (?) confectae, ante a. 84^a. — Fragm. baseos undique fract. Bean n. 11, c. im. ph. ectypi fig. 28. De Epicharmis (patre et filio) cf. IG XII 1, 43, 47, 66, 846, etc. Vss. 4/6 litteris minoribus scripti.

------η ἀρε[τῆς ἕνεκα]
[κ]αὶ εὐνοίας τ[ῆς εἰς ----]
'Επίχαρμος Μελι[------ καὶ]
'Επίχαρμος 'Επιχάρ[μου 'Ρόδιος?]
ἐποίησαν.

465. Dedicatio victoris in ludis Deliis, ex. s. II^a (?). — *Ilica*. Lap. marm. mutil. Bean n. 12, c. im. ph. ectypi fig. 29.

Ἱερώνυμος Ἀπολλωνίου | νικήσας Δήλια | ἵπποι πωλικῶι.

466. Dedicatio victoris agonistici, s. II^a. — Lap. calc. Bean n. 13, c. im. ph. ectypi fig. 30. Vs. 7 litt. minor. scriptus.

Πολύξενος Φιλάγρου
νικήσας τοὺς ποιητὰς
τῶν τραγῳδιῶν δὶς
ἐν τοῖς τιθεμένοις ὑπὸ
τοῦ δήμου Λητοῖ καὶ Ῥώμηι·
πενταετηρικοῖς ἀγῶσιν.

Κλέαρχος Κλεάρχου Καύνιος ἐποίησεν.

467. Basis statuae. — Bean n. 14.

Μηνοφῶν Ζήνωνος | [Μη- *vel* Ζη?]νοφάνην Μηνοφῶντος | τὸν υἱόν.

468. Dedicatio Sarapidi. — *Dalyan*, in ponte prope forum inaedif. Inscr. a sinistra mutila. Bean n. 15, c. im. ph. ectypi fig. 31.

[ὁ δεῖνα] Καλλιστράτου | [ἱερατεύσ?]ας Σαράπιδι.

469. Dedicatio Apollini, in. s. I^p. — Prope theatrum inv. Bean n. 16.

Ἀπόλλωνος.

470-2. Tituli honorarii publici.

470. Hecatomnus, Cariae satrapes, honoratur, s. IV^a. — Basis lap. calc. Bean n. 3, c. im. ph. fig. 17.

Ἑκατόμνων Ὑσσαλλώμου Στοιχ.
Καύνιοι ἀνέθηκαν [[. . . . .]]

471. Maussollus, Hecatomni f., Cariae satrapes, honoratur, s. IV^a. — Basis eiusdem generis prope n. 470 inv. Bean n. 4, c. im. ph. ectypi fig. 18.

Μαύσσωλλον Ἑκατόμνω Στοιχ.
Καύνιοι ἀνέθηκαν [[. . . . .]]

472. Antileon, Menandri f., a Cauniis honoratur, s. III^a. — Basis statuae c. inscr. valde detrita, dialecto Dorica expressa. Bean n. 10, c. im. ph. ectypi fig. 27. Ectypo carminis huius pertrectato novas lectiones nonnullas excudere potuit W. Peek, quas mihi amicissime communicavit Bean. Hunc in modum titulum nunc exhibere proponit P.

[ὁ δῆμ]ος ὁ Καυνίων
[Ἀν]τι[λέον]τα [Με]νάνδρου.
Τοὺς ἀγαθοὺς [ὑμν]εῖν ὀλ[ίγ]ος πόνος, ἃ δὲ παρ' ἀστῶν
τιμὰ καρύσσ[ει πα]ντόσ[ε] τὰς χάριτας.
ὅσσα δ' ἔχω λα[λέειν. . . . .]ως καλὰ καὶ φίλα δάμωι,

ἀτρεκὲς ἔγ μ[ου ἔπ]ος(?) πεύθεο τᾶσδε λίθου·
τὸν δορὶ πόλλ' [ἀνύσαν]τα καὶ εὐ[κ]λέα σὺμ βασιλεῦσιν
Βακχιάδαις π[όντο]υ [κ]αὶ χθονὸς ἀγεμόσιν
Ἀντιλέοντα λέγω τοι ἐπι[κ]λέο[ς] υἱὰ Μενάνδρου,
ὄλβιος, εἰ τοσσῶνδ' ἀντέτυχ' εἰς γεράων·
ὃς δὲ καὶ ἐξανύσας [. . . . . χ]εῖρας ἐπ' ὄλβου
ὤρεξεν, μεγάλοις ἀθανάτοισι φίλος.

6. An ἐγ μ[έροπ]ος ?

473. Stipum collatio, a. 190/167^a (?). — *Sullaniye*, nunc *Köyceğiz* in schola. Tabula lap. calc. vix legenda. Bean n. 6, c. im. ph. ectypi fig. 21.

[- - - - - - - - - -] Ἀπολ[- - - - - - - - -]
[- - - - - - - - - - - - - Π]ολυαρεύς
[- - - - - - - - - - -] Ἀπολλωνιάτ[η]ς
[. . . . .]φάνης Ἀγρεοφ[ῶν]τος Πανδαξεύ[ς]
[. .]νων Μη[. . . . .]ου Πολυαρεύς Ⅎ Ε
[. . . . .]τος Δρά[κο]ντος Πολυαρεύς Ⅎ Ε
[. . .]ίσιος Θήρωνος Περδικίαθεν
Μηνόδοτος Μηνοδότου Κορριτίας Ⅎ Ε
[. .]νων Ἀπολ[λω]νίδου Πολυαρεύς Ε
καὶ ὑπὲρ τοῦ υἱοῦ Ⅎ Ε
καὶ τοῦ ἄλλ[ου υἱ]οῦ Δρά[κ]οντος Ⅎ Ε
Πύργων Δημητρίου Ἰο[.]δεύς Ⅎ Ε
Λητόδωρος Ἡρα[κ]λείδου Πασανδεύς Ⅎ Ε
Ξενίας Ἀγρεοφῶν[το]ς Παράβλιος Ⅎ Ε
Ἀντίπατρος Ἀγρεοφῶντος Παρά[β]λιος Ⅎ Δ
καὶ ὑπὲρ τοῦ υἱοῦ Λέοντος Δ
Ζήνων [.]υ[. . .] Πτολεμαιεύς
καὶ ὑπὲρ τοῦ υἱοῦ Σωπάτρου
καὶ ὑπὲρ τοῦ ἄλλου υἱοῦ Μενάνδρου
καὶ ὑπὲρ τοῦ ἄλλου [υἱ]οῦ Ζήνωνος
Μένανδρος Ἀγρεοφῶ[ν]τος
καὶ ὑπὲρ τοῦ υἱοῦ
καὶ ὑπὲρ ἄλλο[υ] υἱοῦ Γ
Δαμόνικος Βασιλείδου Καλ[υ]νδεύς Γ
καὶ ὑπὲρ τοῦ υἱοῦ Βασιλείδου
[κ]αὶ ὑπὲρ τοῦ ἄλλου υἱοῦ Διονυ[σ]ίου Ⅎ Γ
[κ]αὶ οἱ ἐπαγγειλάμενοι ἐπὶ ἱερέως Σωσιγένους, ὡς δὲ ἐν τῶ[ι θι]-
[ά]σωι Θεοδότου τοῦ Ἀντιπάτρ[ο]υ, εἰς τὴν ἐπα[ύ]ξησιν τοῦ θι[άσου]

Ἀγρεοφῶν Ἀντιπάτρου
Πύργων Πλουτογένους Δ
Δημήτριος Ἑρμωνος Καρπασυανδε[ύ]ς
Ἀθηνόδωρος Ἀντιπάτρου Παράβλιος
Τρωίλος Ἀνδρέου Α ΝΙ ΙΚΕΥΣ
Μένιππος Ἀπολλωνίου Συμβρεύς
[κ]αὶ ὑπὲρ τοῦ υἱοῦ
[.]ηνόδωρος Ἀντιπάτρου.

474. Tit. sepulcr. (?) vel pars aedificii publici privatim suscepta. — Bean n. 17, c. im. ph. ectypi fig. 32.

Εὐφάνης Ἀριστίωνος,
Διονυσία Σίμωνος
ἡ γυνὴ αὐτοῦ,
Κλευπάτρα καὶ ΦΙΛΟΓΛ[---]
Εὐφάνου Σικιμῖται (*sic*),
πήχεις ε'.

4. Φιλοπά[τρα]?

475. Tit. sepulcr., s. I^{a}. — In limine supero sepulcri e rupe excavati inscr. Bean n. 18, c. im. ph. ectypi fig. 33.

[τοῦ δεῖνος] τοῦ Ἰάσονος Ἰμβρίου κα[ὶ]
[Κλευπ?]άτρας τῆς Οἰκοδάμαν[τος]
[μ]ητρὸς δὲ Λυσιμάχου. *vac.*

476. Tit. sep., aet. Rom. — In poste sinistr. eiusdem sepulcri. Bean n. 18a.

Ναύκρ	ατις	Κλει-
νίου	καὶ	
Λητό	δωρε	
Δοκί	μου	
χρησ	τοὶ χ	αίρε-
	τε.	

477. Tit. sep., s. I^{a}. — *Dağdibi*. Nunc in ponte flum. Sarıöz inaedif. Limen eiusdem modi ac n. 475, (= *BCH* I 1877, 346). Bean n. 19, c. im. ph. ectypi (vss. 1/2) fig. 34.

Ἡδίστη[ς] τῆς Πτολεμαίου, προμαίας δὲ
Λυσιμάχου Ἡδίστης τῆς Οἰκοδάμαντος,
καὶ Ἱερωνύμου τοῦ Ἰάσονος
καὶ Ἰάσονος τοῦ Ἰάσονος.

